# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ
# ΤΗΝ ΠΑΡΑΜΥΘΙΑΝ

**Ὁ ἱερεύς.**

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ Προεστώς.** Ἀμήν.

***Ψαλμὸς ρμβ΄ (142).***

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε· ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου ὅτι σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου. Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

**Καὶ εὐθὺς ἐξ ἑκατέρων τῶν χορῶν.** ***Ἦχος δ΄.***

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**Στίχ. α΄.** *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.*

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

**Στίχ. β΄.** *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

**Στίχ. γ΄.** *Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.*
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν...

**Εἶτα τὰ παρόντα τροπάρια.**
***Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.***

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα βοήθησον, ἐφ᾿ ἡμῖν σπλαγχνισθεῖσα· σπεῦσον ἀπολλύμεθα, ἀπὸ πλήθους πταισμάτων· μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς· σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

**Ἀπολυτίκιον Παναγίας Παραμυθίας.**
*Δόξα Πατρί..* ***Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.***

Τῆς ποίμνης κυκλωθείσης ὑπὸ τῶν πολεμίων, καὶ τῶν διωκτῶν ὑλακτούντων κατὰ τῶν σῶν προβάτων, προσεῖπας τῷ δούλῳ σου Ἁγνή, καθ᾿ ὕπαρ φωνήσασα αὐτῷ· διὰ τοῦτο καὶ χορεῖαι τῶν μοναστῶν, σοὶ κράζουσι Θεοτόκε· Δόξα τῇ ἀντιλήψει σου Σεμνή, δόξα τῇ προστασίᾳ σου, δόξα Παραμυθία, σοὶ μόνῃ Πανύμνητε.

*Καὶ νῦν.* ***Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.***

Οὐ σιωπήσωμέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

**Ὁ Προεστώς (χῦμα).**
***Ψαλμὸς Ν΄ (50).***

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός. Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός· καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου

καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ. Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ψάλλομεν τὸν Κανόνα.**

**Ὠδὴ α΄. *Ἦχος πλ. δ΄.* Ὁ Εἱρμός.**

***Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· τῷ λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν.***

**Τροπάρια.**

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Πανύμνητε Δέσποινα Μαριάμ, παράσχου μοι χάριν, ὅπως στέψω χρεωστικῶς, ᾀσμάτων τοῖς ἄνθεσιν εἰκόνα, τῆς σῆς μορφῆς, Παραμυθία μου.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Κυρία τοῦ Ἄθωνος κραταιά, προστάτις καὶ σκέπη, ἐξαιρέτως δὲ τῆς Μονῆς, Μεγίστης κλεινῆς Βατοπαιδίου, τοὺς παροικοῦντας ἐν ταύτῃ περίσῳζε.

*Δόξα Πατρί...*

Ὡς πάλαι τὴν ποίμνην σου θαυμαστῶς, ὦ Παραμυθία, διασώσασα ἐκ λῃστῶν, καὶ νῦν ὡσαύτως δονουμένους, τῇ μεσιτείᾳ σου λύτρωσαι Δέσποινα.

*Καὶ νῦν...*

Ἐκ νόσων σκανδάλων καὶ πειρασμῶν, περικυκλωθέντες, τῇ εἰκόνι σου ὡς εἰκός, προσπίπτομεν Δέσποινα βοῶντες, Παραμυθία ἀπάλλαξον τάχιστα.

**Ὠδὴ γ΄. Ὁ Εἱρμός.**

***Οὐρανίας ἁψῖδος ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.***

**Τροπάρια.**

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Βουληθεὶς ὁ Υἱός σου, Θεοχαρίτωτε Δέσποινα, βίον μοναστῶν ἀμελούντων, τούτου προστάξεων, ἐπανορθώσασθαι, δεινῶν βαρβάρων τὰ στίφη, κατὰ τῆς Μεγίστης σου Μονῆς ἀπέστειλε.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Διὰ τοῦτο Παρθένε, σὺ ἀποθήσασα ὄλεθρον, πάσῃ μητρικῇ παῤῥησίᾳ, χρωμένη ἔσπευσας· εἰ καὶ ὁ Κύριος, αὐτοῦ τὴν χεῖρα ἐκτείνας, σοῖς ἀχράντοις χείλεσι, πάλιν ἐβόησας.

*Δόξα Πατρί...*

Παῦσον Μῆτερ φωνοῦσα, ὁ σὸς Υἱὸς ἔλεγεν· ἀλλὰ σὺ Παρθένε καὶ πάλιν, τρίτον ἐφώνησας, παραμυθήσασα, πᾶσαν τὴν Ποίμνην σου Κόρη. Ὅθεν πάντες κράζομεν, Δέσποινα, Χαῖρέ σοι.

*Καὶ νῦν...*

Σὺ ὑπάρχεις Παρθένε, πάντων ἡμῶν στήριγμα, σκέπη καὶ προστάτις καὶ ῥύστις, πάσης κακώσεως, καὶ πρέσβυς ἄριστος, πρὸς τὸν Υἱὸν καὶ Θεόν σου, φύλαξ καὶ ὑπέρμαχος Βατοπαιδίου Μονῆς.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς μόνη τῶν σῶν ἡ Παραμυθία.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

**Καὶ μνημονεύει ὁ ἱερεὺς ὑπὲρ ὧν ἡ Παράκλησις τελεῖται.**

**Μετὰ τὴν ἐκφώνησιν ψάλλει ὁ α΄ χορὸς τὸ ἑπόμενον Κάθισμα.**

**Ἦχος β΄. *Τὰ ἄνω ζητῶν.***

Πρεσβεία θερμή, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγή, ἡμῶν τε παραμύθιον, ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα πρόφθασον, καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη προστάτις τοῦ ποιμνίου σου.

## Ὠδὴ δ΄. Ὁ Εἱρμός.

***Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον· κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν θεότητα.***

### Τροπάρια.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Ἀνεδείχθη Πανάχραντε, ὁ Ναός σου οὗτος τῆς θείας χάριτος, οἰκητήριον κοσμούμενος, σῆς σεπτῆς εἰκόνος ἐκτυπώματι.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Μοναστῶν καὶ μιγάδων τε, πάντων τὰ συστήματα σοὶ κραυγάζουσι· Παραμύθησον Μητράνανδρε, πειρασμῶν παντοίων τοὺς οἰκέτας σου.

*Δόξα Πατρί...*

Τῆς Μονῆς σου οἱ τρόφιμοι, χαίροντες σκιρτῶντες καὶ ἀγαλλόμενοι, καθ' ἑκάστην τὴν εἰκόνα σου, χάριτος πληροῦνται, ἀσπαζόμενοι.

*Καὶ νῦν...*

Βατοπαίδιον γάννυται, συγκαλοῦν τοῦ Ὄρους ἅπαν τό σύστημα, ὅπως ἴδῃ τῆς εἰκόνος σου, τὴν μορφὴν στραφεῖσαν καὶ φωνήσασαν.

**Ὠδὴ ε΄. Ὁ Εἱρμός.**

***Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου, Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην παράσχου ἡμῖν φιλάνθρωπε.***

**Τροπάρια.**

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Στάμνον Κιβωτόν, Ῥάβδον Πλάκα, θείαν Τράπεζαν, Ὄρος Βάτον ἀκατάφλεκτον, σὲ Προφῆται Κόρη προκατήγγειλαν.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Ὄρος Δανιήλ, ἀλατόμητον κατεῖδέ σε· ἄλλος πάλιν πόκον ἔνδροσον· ἕτερος χρυσῆν λυχνίαν Πάναγνε.

*Δόξα Πατρί...*

Λύονται ἐν σοί, νόμοι φύσεως Πανάχραντε, μόνη τίκτεις Βρέφος ἄσπορον, Λόγον τοῦ Πατρὸς τὸν ἐνυπόστατον.

*Καὶ νῦν...*

Σῶμα καὶ ψυχήν, καὶ διάνοιαν ἐμόλυνα, ὁ ἀνάξιος ἱκέτης σου· ὅθεν σοι κραυγάζω· Κόρη σῶσόν με.

**Ὠδὴ ς΄. Ὁ Εἱρμός.**

***Ἱλάσθητί μοι Σωτήρ, πολλαὶ γὰρ αἱ ἀνομίαι μου, καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι, πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.***

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Πρεσβείαις σου Μαριάμ, ἐγκαίνισον τοῖς ἐγκάτοις μου, πρὸς σὸν Υἱὸν καὶ Θεόν, Πνεῦμα τὸ Πανάγιον· πάθος δὲ ὀλέθριον, τῆς ἀναισθησίας, ἀποδίωξον Πανάχραντε.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Τῆς ταπεινώσεως εἶ, Παραμυθία τὸ σύμβολον· προσπίπτοντες οὖν ἡμεῖς, τῇ σεπτῇ εἰκόνι σου, ταπείνωσιν Δέσποινα, διὰ σοῦ αἰτοῦμεν, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

*Δόξα Πατρί...*

Τὸ Ὄρος τὸ θαυμαστόν, Παραμυθία τοῦ Ἄθωνος, κατέχον τὴν σὴν σεπτήν, εἰκόνα σεμνύνεται, καὶ τὴν παναγίαν σου, Παναγία, Ζώνην, τῶν ἐχθρῶν φυγαδευτήριον.

*Καὶ νῦν...*

Λοιμοῦ, λιμοῦ καὶ σεισμοῦ, πυρός, μαχαίρας καὶ κλύδωνος, χαλάζης καὶ πειρασμοῦ, καὶ παντὸς νοσήματος, ῥῦσαι ὑπεράγαθε, Παναγία Κόρη, τὴν σὴν Ποίμνην ἱκετεύομεν.

Διάσωσον, ἀπὸ κινδύνων τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς μόνη τῶν σῶν ἡ Παραμυθία.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

**Ὁ ἱερεὺς μνημονεύει, ὡς δεδήλωται.**

**Μετὰ τὴν ἐκφώνησιν ψάλλει ὁ β΄ χορὸς τὸ Κοντάκιον.**

***Ἦχος β΄. Αὐτόμελον.***

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς· ἀλλὰ πρόφθασον ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε τῶν τιμώντων σε.

**Καὶ εὐθὺς τὸ προκείμενον.**

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ· ***(δίς).***

**Στίχ.** *Ἄκουσον θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου, καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου καὶ ἐπιθυμήσει ὁ Βασιλεὺς τοῦ κάλλους σου.*

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

**Ὁ ἱερεύς·** Τοῦ Κυρίου δεηθῶμεν.

**Ὁ ἀναγνώστης·** Κύριε, ἐλέησον.

**Ὁ ἱερεύς·**

Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ χορός·** **Ἀ**μήν. **Π**ᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. ***(τρίς).***

**Ὁ ἱερεύς·** **Κ**αὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

**Ὁ ἀναγνώστης·** **Κ**ύριε, ἐλέησον. ***(τρίς).***

**Ὁ ἱερεύς·** **Σ**οφία· ὀρθοί· ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου·
**Ε**ἰρήνη πᾶσι!

**Ὁ ἀναγνώστης ·** **Κ**αὶ τῷ πνεύματί σου.

**Ὁ ἱερεύς·** **Ἐ**κ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγελίου τὸ ἀνάγνωσμα·

**Π**ρόσχωμεν!

**Ὁ ἀναγνώστης ·** **Δ**όξα σοι, Κύριε, δόξα σοι.

**Ὁ ἱερεύς·**

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

**Ὁ ἀναγνώστης·** **Δ**όξα σοι, Κύριε, δόξα σοι.

**Καὶ εἶτα οἱ Χοροί·**

*Δόξα Πατρί... **Ἦχος β΄.***

Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Καὶ νῦν...*

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ τὸ Προσόμοιον.**

***Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.***

**Στίχ.** *Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

Μὴ καταπιστεύσῃς με, ἀνθρωπίνῃ προστασίᾳ, Παναγία Δέσποινα, ἀλλὰ δέξαι δέησιν τοῦ ἱκέτου σου· θλῖψις γὰρ ἔχει με, φέρειν οὐ δύναμαι τῶν δαιμόνων τὰ τοξεύματα· σκέπην οὐ κέκτημαι, οὐδὲ ποῦ προσφύγω ὁ ἄθλιος, πάντοθεν πολεμούμενος καὶ Παραμυθίαν οὐκ ἔχω πλήν σου· Δέσποινα τοῦ κόσμου, ἐλπὶς καὶ προστασία τῶν πιστῶν, μή μου παρίδῃς τὴν δέησιν τὸ συμφέρον ποίησον.

**Ὁ ἱερεύς·**

Σῶσον ὁ Θεός, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ᾽ ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων Δυνάμεων Ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν μεγάλων Ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, πατριαρχῶν Ἀλεξανδρείας· Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων Μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλύτου, Θεοδώρου τοῦ Τήρωνος καὶ Θεοδώρου τοῦ Στρατηλάτου· τῶν Ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν Ὁσίων καὶ Θεοφόρων Πατέρων ἡμῶν· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, ***(τοῦ ἁγίου τῆς ἡμέρας)*** καὶ πάντων σου τῶν ἁγίων, ἱκετεύομεν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

**Ὁ ἀναγνώστης·** Κύριε, ἐλέησον, ***ιβ΄ (δωδεκάκις).***

**Ὁ ἱερεύς·**

Ἐλέει καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς σου Υἱοῦ, μεθ᾿ οὗ εὐλογητὸς εἶ, σὺν τῷ Παναγίῳ καὶ Ἀγαθῷ καὶ Ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ ἀναγνώστης·** Ἀμήν.

**Καὶ τὰς λοιπὰς Ὠδὰς τοῦ Κανόνος.**

**Ὠδὴ ζ΄. Ὁ Εἱρμός.**

***Παῖδες Ἑβραίων ἐν καμίνῳ, κατεπάτησαν τὴν φλόγα θαρσαλέως, καὶ εἰς δρόσον τὸ πῦρ, μετέβαλον βοῶντες· Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.***

**Τροπάρια.**

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Πόθῳ καὶ πίστει σοι προστρέχω, παραμύθησον, Παραμυθία Κόρη, παραμύθιον σύ, Μονῆς Βατοπαιδίου, πάλαι παραμυθήσασα, μοναστὰς ἀπειλουμένους.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Ἔλαφος γέγονα διψῶσα, τὰς πηγὰς ἐκζητῶν, Παρθένε σῶν ὑδάτων· τοῦ ἐλέους τοῦ σοῦ, ῥανίδα πότισόν με, τῷ σῷ ναῷ προστρέχοντα, ὦ σεπτὴ Παραμυθία.

*Δόξα Πατρί...*

Γλυκυτέρα φωνῆς τῆς ἀηδόνος, μέλι στάζουσα, ἠκούσθη ἡ φωνή σου, καὶ διέσωσε πρίν, Μονὴν Βατοπαιδίου· ἀλλὰ καὶ νῦν διάσῳζε, πάμφωτε Παραμυθία.

*Καὶ νῦν...*

Σκευωρίας ματαίωσον Παρθένε, πονηρὰς καὶ δεινάς, ἀφρόνως γινομένας, ἐν ἐσχάτοις καιροῖς, κατὰ τοῦ Ὄρους Ἄθω, Παραμυθία, σῴζουσα, ὃ οἰκεῖον ᾐρετίσω.

**Ὠδὴ η΄. Ὁ Εἱρμός.**

***Τὸν Βασιλέα, τῶν οὐρανῶν ὃν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγγέλων, ὑμνεῖτε καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.***

**Τροπάρια.**

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Ἐπὶ σοὶ χαίρει, πᾶσα ἡ κτίσις, Ἀγγέλων, τά συστήματα καὶ τῶν ἀνθρώπων γένος· ἔψαλλον τά πλήθη, τῶν μοναστῶν Παρθένε.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Παραμυθίαν, ἐπαινέσωμεν πάντες, δεχομένην τῶν μοναστῶν τὸν ὕμνον, καὶ λυτρωσαμένην, ἐκ πειρατῶν βεβήλων.

*Δόξα Πατρί...*

Τῶν ποιημάτων, Κόρη δεσπόζεις παντοίων, ἐπιγείων τε καὶ τῶν ἐπουρανίων, ὢ Παραμυθία, κρατοῦσα θεῖον Ἴον.

*Καὶ νῦν...*

Τὸν Βασιλέα, τῶν βασιλέων κρατοῦσα, βασιλείας βασιλικὴν Μονήν σου, μοναστὰς οἰκοῦντας, Βασίλισσα ἀξίου.

**Ὠδὴ θ΄. *Κυρίως Θεοτόκον.***

**Τροπάρια.**

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Ναῷ σου τῷ ἁγίῳ, πίστει προσιόντες, οἱ διὰ σοῦ σεσωσμένοι, Παραμυθία ἁγνή, τὸν ταπεινὸν ἡμῶν ὕμνον, σοὶ ἀναμέλπομεν.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.*

Βοήθησον φυλάξαι, ὢ Παραμυθία, ἐπαγγελίας ἡμῶν ἃς ἐδώκαμεν, ὅτε τὸ Σχῆμα ἐλάβομεν, τῷ Θεῷ ἡμῶν.

*Δόξα Πατρί...*

Μονήν σου τὴν ἁγίαν, ὢ Παραμυθία, τοῦ ἐμφυλίου πολέμου ἀπάλλαττε, ὅπως Υἱοῦ σου δοξάζηται θεῖον ὄνομα.

*Καὶ νῦν...*

Περαίνοντες τόν ὕμνον, Χαῖρέ σοι βοῶμεν, τῇ θαυμαστῇ σου εἰκόνι προσπίπτοντες, μετὰ δακρύων αἰτοῦντες, πταισμάτων ἄφεσιν.

**Καὶ εὐθύς, τό·**

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν.

Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

**Καὶ εἶτα τὰ παρόντα Μεγαλυνάρια.**

Τὴν ὑψηλοτέραν τῶν οὐρανῶν, καὶ καθαρωτέραν λαμπηδόνων ἡλιακῶν, τὴν Παραμυθίαν ἡμῶν τῶν παροικούντων, Μονῇ Βατοπαιδίου, ὕμνοις τιμήσωμεν.

Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις μοναζόντων τῇ σῇ Μονῇ, καὶ Παραμυθία γενοῦ ἡμῶν καὶ σκέπη, καὶ πρέσβυς τῷ Υἱῷ σου, ὑπὲρ τῶν δούλων σου.

Νῦν καιρὸς ἀνάγκης ἦλθεν ἡμῖν, νῦν παρέστη χρεία βοηθείας Κόρη τῆς σῆς· λύτρωσαι οὖν πάσης ἀνάγκης καὶ κινδύνου, καὶ χεῖρα βοηθείας, τάχιστα ὄρεξον.

Κόρη πανακήρατε ἡ ἐλπίς, τῶν ἀπηλπισμένων καὶ ἀντίληψις τῶν πιστῶν, σῶσον σοὺς οἰκέτας ἀπὸ παντοίας βλάβης, Παρθένε Θεοτόκε, Παραμυθία μου.

**Καὶ τὰ τῆς Μονῆς.**

Νῦν εὐαγγελίζεται Γαβριήλ, τὸ χαῖρε κραυγάζων μετὰ δέους τῇ Μαριάμ· ὢ τοῦ ξένου τρόπου! ἐν μήτρᾳ γὰρ ἀχράντῳ, συνείληπται ὁ Πλάστης, σῴζων ὃν ἔπλασε.

Θείαν Βηματάρισσαν τὴν σεπτήν, πάντες προσκυνοῦμεν, Ἐσφαγμένην καὶ τὰς λοιπάς, τὴν Παραμυθίαν, καὶ τὴν Ἐλαιοβρύτιν, σὺν τῇ Ἀντιφωνούσῃ καὶ τὴν Παντάνασσαν.

Τὰς σεπτὰς εἰκόνας σου τῆς μορφῆς, τὴν Παραμυθίαν προσκυνοῦμεν καὶ τὰς λοιπάς, τὴν Ἀντιφωνοῦσαν, τὴν Πυροβοληθεῖσαν, τὴν θείαν Ἐσφαγμένην καὶ τὴν Παντάνασσαν.

Ζώνη πολυτίμητε τῆς Ἁγνῆς, πηγὴ τῶν θαυμάτων, καὶ χαρίτων ὁ θησαυρός, σῶσον τοὺς σοὺς δούλους, ἀπὸ παντοίας βλάβης, ὡς τῆς ζωῆς τὸ σκεῦος, σὺ περιζώσασα.

Τοὺς ἀσπαζομένους σου εὐλαβῶς, σορὸν τῶν λειψάνων, καὶ τελοῦντας σου τὴν φαιδράν, μνήμην περιφρούρει ἀπὸ πάσης ἀνάγκης, Εὐδόκιμε τρισμάκαρ, ἀξιοθαύμαστε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

**Ὁ ἀναγνώστης. τὸ Τρισάγιον.**

**Ὁ ἱερεύς.**

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ Ἀναγνώστης·** Ἀμήν.

**Εἶτα τὰ Τροπάρια ταῦτα.**

**Ἀπολυτίκιον Παναγίας Παραμυθίας.**
***Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.***

Τῆς ποίμνης κυκλωθείσης ὑπὸ τῶν πολεμίων, καὶ τῶν διωκτῶν ὑλακτούντων κατὰ τῶν σῶν προβάτων, προσεῖπας τῷ δούλῳ σου Ἁγνή, καθ' ὕπαρ φωνήσασα αὐτῷ· διὰ τοῦτο καὶ χορεῖαι τῶν μοναστῶν, σοὶ κράζουσι Θεοτόκε· Δόξα τῇ ἀντιλήψει σου Σεμνή, δόξα τῇ προστασίᾳ σου, δόξα Παραμυθία, σοὶ μόνῃ Πανύμνητε.

**Ἕτερον. *Ὅμοιον.***

Τὴν πάντων ὑπερτέραν Θεοτόκον ὑμνήσωμεν, τὴν Παραμυθίαν ἐν ταύτῃ, τῇ Μονῇ καὶ προτάτιδα· ὑπάρχει γὰρ φρουῦδος τοῖς ἐχθροῖς, καὶ σκέπη σωτήριος ἡμῖν, διὰ τῆς αὐτῆς εἰκόνος ὡς βασιλίς, ἐν θρόνῳ καθιδρυμένη. Δόξα διὸ τῇ σῇ βουλῇ, δόξα τοῖς θαυμασίοις σου, δόξα τῇ πρὸς ἡμᾶς, Παρθένε, θείᾳ προνοίᾳ σου.

**Κοντάκιον. *Ἦχος πλ.δ΄. Τῇ Ὑπερμάχῳ.***

Τοὺς τῇ Μονῇ σου καρτεροῦντας μόνη Δέσποινα, καὶ τῷ ναῷ σου εἰσιόντας καὶ προσπίπτοντας, τῇ ἁγίᾳ σου εἰκόνι Παραμυθία, τούτοις δώρησαι συνήθως τὰ ἐλέη σου, ἐκ παντοίων ῥυομένη ἡμᾶς θλίψεων, τοὺς σοὶ κράζοντας· χαῖρε μόνη Θεόνυμφε.

**Ὁ ἱερεύς.**

Ἐλέησον ἡμᾶς ὁ Θεός...
Ἔτι δεόμεθα, ὑπὲρ ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης...

**(Καὶ μνημονεύει πάλιν, ὑπὲρ ὧν γίνεται ἡ παράκλησις).**

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Μονὴν ταύτην πᾶσαν Μονήν, πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδᾶσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ' ἡμῶν κινουμένην· καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἐπάκουσον ἡμῶν ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν· καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα, ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς. Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς

ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**Ὁ Ἀναγνώστης·** **Ἀ**μήν.

**Ὁ ἱερεὺς ποιεῖ μικρὰν ἀπόλυσιν.**

Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας · τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων μαρτύρων· τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, ***(τοῦ ἁγίου τῆς ἡμέρας)*** καὶ πάντων τῶν ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

**Καὶ ἡμῶν ἀσπαζομένων τὴν Εἰκόνα τῆς Θεοτόκου, ψάλλονται τὰ παρόντα τροπάρια.**

***Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.***

Δεῦτε τῇ εἰκόνι ἀδελφοί, τῇ θαυματουργῷ καὶ ἁγίᾳ, τῆς Θεοτόκου ἁγνῆς· δεῦτε νῦν προσπέσωμεν, δάκρυα χέοντες· καὶ ἐν πόθῳ κραυγάσωμεν, ψυχῆς καὶ καρδίας· Πάσης περιστάσεως, ἡμᾶς ἀπάλλαξον, ἵνα ἐκ παντοίων κινδύνων πάντοτε λυτρούμενοι Κόρη, σὲ Παραμυθίαν ὀνομάζωμεν.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ· φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Ὁ ἱερεύς·**

Δι᾿ εὐχῶν τῶν ἁγίων πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς

**Ὁ Ἀναγνώστης·** **Ἀ**μήν.



**ΔΙΣΤΙΧΟΝ**

Παραμυθία Δέσποινα, πρόσδεξαι δέησιν,
Ἣν πόθῳ ἡ σὴ μάνδρα προσφέρει.